ἐπεσταλκότος ἡμῖν, ἐθαύμασα πῶς ἡ σὴ τιμιότης οὐκ ἐπέστειλε, καίτοι τῆς κυρίας μου, τῆς ἐλευθέρας αὐτοῦ, σφόδρα σοι φίλης οὔσης. Ἐννόει δὲ κἀκεῖνο ὅτι καὶ τὰ χρηστὰ καὶ τὰ λυπηρὰ τοῦ παρόντος βίου παροδεύεται ἅπαντα. Εἰ γὰρ καὶ στενὴ πύλη καὶ τεθλιμμένη ἡ ὁδός, ἀλλ' ὅμως ὁδός· ἀναμνήσω γάρ σε ῥήματος οὗ πολλάκις διελέχθην πρὸς σέ· « Εἰ καὶ πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδός, ἀλλὰ καὶ αὕτη ὁδός. » Ἀπαλλαγεῖσα τοίνυν τῆς γῆς, μᾶλλον δὲ αὐτοῦ τοῦ συνδέσμου τῆς σαρκός, διέγειρόν σου τῆς φιλοσοφίας τὸ πτερὸν μηδὲ ἀφῇς ὑπὸ τῆς σκιᾶς αὐτὸ καὶ τοῦ καπνοῦ — τοῦτο γὰρ τὰ ἀνθρώπινα — βαπτίζεσθαι καὶ καθέλκεσθαι. Ἀλλὰ κἂν ἴδῃς ἐκείνους τοὺς τοσαῦτα εἰς ἡμᾶς παρανομήσαντας καὶ τὰς πόλεις αὐτῶν ἔχοντας καὶ τιμῆς ἀπολαύοντας καὶ δορυφορίας, ἐπίλεγε τὸ ῥῆμα τοῦτο· « Πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν [b] » καὶ δάκρυε διὰ ταῦτα μᾶλλον αὐτοὺς καὶ θρήνει. Ὁ γὰρ ἐνταῦθα κακόν τι ποιῶν, εἶτα πρὸς τῷ μὴ δοῦναι δίκην καὶ τιμῆς παρὰ ἀνθρώπων ἀπολαύων, μέγιστον ἀπελεύσεται τιμωρίας ἐφόδιον ἔχων τὴν τιμήν. Διά τοι τοῦτο καὶ ὁ πλούσιος ἐκεῖνος χαλεπῶς ἀπετηγανίζετο, οὐ τῆς ὠμότητος μόνης ἕνεκεν ἣν περὶ τὸν Λάζαρον ἐπεδείξατο δίκας διδούς, ἀλλὰ καὶ τῆς εὐημερίας ἧς ἐν ὠμότητι τοσαύτῃ διηνεκῶς ἀπολαύων οὐδὲ ταύτῃ βελτίων ἐγένετο.

c. Ταῦτα καὶ τὰ τούτοις ὅμοια — οὐ γὰρ διελίπομεν ταῦτά σοι συνεχῶς ἐπᾴδοντες — διαλεγομένη πρὸς ἑαυτήν, δέσποινά